ἠπιότης καὶ οἶκτος καὶ ἐλεημοσύνη καὶ εὐσπλαγχνία μάλιστα ἐν ἀνθρώποις ἐπαινεῖται, πολλῷ μᾶλλον τῇ θείᾳ πρέπον ἂν εἴη ἀγαθότητι τῶν εὐσεβῶν εὐχῶν ἐπακούειν.

Ἐντεῦθέν ἐστι τὸ ἐν Ψαλμοῖς· „Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ εἰσακούσεται", καὶ τὰ ἑξῆς· καὶ ἐν τῷ κατὰ Ματθαῖον ὁ Κύριος· „Πᾶς ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει".

## XCVI.

Εἰ δὲ πολλάκις αἰτοῦντες οὐκ εἰσακούονται, τοῦτ' ἔστι διὰ τὸ μὴ εἶναι τὸ αἰτούμενον ἀληθῶς ἀγαθόν, ἀλλὰ δοκοῦν ἀγαθόν, ἁπλῶς δὲ κακόν, ὡς ἐν τῇ Ἰακώβου ἐπιστολῇ· „Αἰτεῖτε καὶ οὐ λαμβάνετε, ὅτι κακῶς αἰτεῖσθε"· ἢ τοῦτ' ἔστι διὰ τὸ μὴ καρτερεῖν καὶ προσεδρεύειν ἐν τῇ εὐχῇ, πρὸς ὃ εἴρηται ἐν τῷ κατὰ Λουκᾶν· „Δεῖ πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκαμεῖν"· καὶ ἐν τῇ πρὸς Θεσσαλονικεῖς πρώτῃ· „Ἀδιαλείπτως προσεύχεσθε".

Ἔτι δεῖ πρὸς τοῦτο θεωρίας καὶ τῆς μετ' εὐνοίας ἐφέσεως, καὶ μετρίου καὶ βεβαίου σκοποῦ. Ὅθεν ἐν τοῖς Ψαλμοῖς λέγεται· „Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν". Ἡ οὖν μὴ οὕτω πλησιάζουσα τῷ Θεῷ εὐχὴ οὐ προσήκουσά ἐστιν ὑπακούεσθαι ὑπὸ τοῦ Θεοῦ.

Ἔτι, τῷ τῆς φιλίας λόγῳ ὁ Θεὸς εἰσακούει τὰς εὐχὰς τῶν ὁσίων· οἱ δὲ τὴν τοῦ Θεοῦ φιλίαν ἐκκλίνοντες οὐ δίκαιοι εἰσακούεσθαι· διὸ ἐν τῷ | Ἡσαΐᾳ λέγεται· „Ὅταν πληθύνετε τὰς εὐχὰς ὑμῶν, οὐκ εἰσακούσομαι· f. 106v
*αἱ γὰρ χεῖρες ὑμῶν αἵματός εἰσι πλήρεις*". Ἐντεῦθεν *πολλάκις οὐκ εἰσακούεται* καὶ φίλος Θεοῦ, ὅταν ὑπὲρ μὴ φίλων τοῦ Θεοῦ δέηται, ὡς ἐν τῷ Ἱερεμίᾳ· „Σὺ δὲ μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, μηδ' ἀνάλαβε ὑπὲρ αὐτῶν ὕμνον ἢ εὐχήν, ὅτι οὐκ εἰσακούσομαί σου".

Ἔστι δ' ὅτε καὶ οὓς μάλιστα φιλεῖ, τούτων οὐκ ἀποπληροῖ τὰς δεήσεις, ἵν' ἀποπληρώσῃ ὃ μᾶλλον τῷ ζητοῦντι συνοίσει. Ὅθεν καὶ τὸν τῆς σαρκὸς σκόλοπα τῷ Παύλῳ τρὶς ζητήσαντι οὐ μετεκίνησεν, προειδὼς χρήσιμον αὐτῷ τοῦτ' εἶναι, πρὸς τὴν τῆς μετριοφροσύνης συντήρησιν· ὡς ἐν τῷ κατὰ Ματθαῖον εἶπεν ὁ Κύριος πρός τινας· „Οὐκ οἴδατε τί αἰτεῖσθε"· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, οὐκ ἴσμεν". Φανερὸν οὖν, ὅτι τῶν παρὰ Θεοῦ αἰτία καὶ αἱ εὐχαὶ καὶ αἱ εὐσεβεῖς ἐπιθυμίαι. Ὥσπερ δὲ τὰς ἄλλας αἰτίας οὐκ ἀναιρεῖ ἡ θεία πρόνοια, ὡς ἐδείχθη, διὰ τὴν ἐν τῷ παντὶ τάξιν, ὅθεν οὐδὲ μάχονται αὗται τῇ προνοίᾳ, διακονοῦσι μὲν οὖν τοῖς ταύτης ἀποτελέσμασιν, οὕτω καὶ αἱ πρὸς τὸν Θεὸν

---

**4** Ps. 144, 19 **6** Matth. 7, 8 **11** Iac. 4, 3 **13** Luc. 18, 1 **14** I Thess. 5, 17 **17** Ps. 101, 18 **22** Is. 1, 15 **25** Ier. 7, 16 **29** *τῷ Παύλῳ*: *τοῦ Παύλου* A par distraction **31** Matth. 20, 22 **32** Rom. 8, 26

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εὐχαὶ τὸ δραστήριον ἔχουσιν· τὴν δὲ τῆς προνοίας ἀμετάβλητον οὐ λύουσι τάξιν· τὸ γὰρ τῷ δὶ ζητοῦντι τὸ δὶ συγχωρεῖσθαι ὑπὸ τὴν τάξιν καὶ αὐτὸ πίπτει τῆς θείας προνοίας.

Ἀλλ' οἱ Ἐπικούρειοι, οἱ ἐκβάλλοντες τῶν ἀνθρωπίνων τὴν πρόνοιαν, καὶ οἱ Στωϊκοί, οἱ πάντα ἐξ ἀνάγκης τιθέντες συμβαίνειν, εἰκῇ καὶ τὴν εὐχὴν καὶ τὴν ἄλλην περὶ τὸ θεῖον λατρείαν ᾤοντο εἶναι· οἱ δὲ τοὐναντίον στρεπτὴν ταῖς εὐχαῖς ἔφησαν εἶναι τὴν θείαν οἰκονομίαν, ὡς Αἰγύπτιοι, εὐχαῖς καί τισιν εἰκόσι καὶ ὑποθυμιάσεσιν ἢ ἐπῳδαῖς οἰόμενοι στρέφειν τὴν εἱμαρμένην, τὸ ἐν τῷ Ἰωήλ· „Τίς οἶδεν εἰ ἐπιστρέψει καὶ μεταγνώσεται ὁ Θεός"; καὶ ἄλλα τοιαῦτα ἐν τῇ Γραφῇ ἐξ ἐπιπολῆς νοοῦντες. Ταύτῃ δὲ τῇ θέσει καὶ ἄτοπα μὲν πολλὰ ἕπεται, οἷον τὸ τὴν θείαν μεταβλητὴν εἶναι θέλησιν, καὶ ἀπὸ χρόνου ἐπιέναι τι τῷ Θεῷ, καὶ τὰ ἐν τοῖς κτίσμασι χρονικῶς ὑπάρχοντα αἰτιά τινος εἶναι ἐν τῷ Θεῷ, καὶ τὰ τοιαῦτα. Ἐναντιοῦται δὲ καὶ ἡ θεία Γραφὴ ταύτῃ. Ἐν μὲν γὰρ τοῖς Ἀριθμοῖς λέγεται· „Οὐκ ἔστιν ὡς ἄνθρωπος ὁ Θεός, ἵνα ψεύδηται, οὔτε ὡς
f. 107 υἱὸς ἀνθρώπου, | ἵνα μεταβληθῇ"· καὶ ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν· „Ὁ θριαμβευστὴς ἐν Ἰσραὴλ οὐ φείσεται, καὶ μετανοίᾳ οὐκ ἐπικλασθήσεται· οὐ γάρ ἐστιν ἄνθρωπος, ἵνα μετανοήσῃ"· καὶ ἐν τῷ Μαλαχίᾳ· „Ἐγὼ Κύριος, καὶ οὐκ ἠλλοίωμαι".

Πᾶσα δὲ ἡ ἐν τούτοις πλάνη προῆλθεν ἐκ τοῦ μὴ θεωρῆσαι τῆς καθόλου τάξεως καὶ τῆς μερικῆς τὴν διαφοράν. Τὴν μὲν γὰρ τάξιν τῆς ἀϊδίου διοικήσεως οὐ μεταβάλλουσιν αἱ εὐχαί, ὡς ὑπὸ τὴν τάξιν ὑπάρχουσαι καὶ αὐταί· μερικὴν δέ τινα τάξιν ταπεινοτέρας τινὸς αἰτίας μεταβάλλουσι, τοῦ Θεοῦ τοῦτο ποιοῦντος, ὃς πάντων αἰτίων ὑπερανῴκισται, καὶ οὐδεμιᾷ τάξεως ἀνάγκῃ αἰτίας τινὸς περιέχεται. Ἀλλ' ἀνάπαλιν, πᾶσα ἀνάγκη τάξεως ἐξ αἰτίας τινὸς κατωτέρας ἐν αὐτῷ περιέχεται, ὥσπερ ὑπ' αὐτοῦ καταστᾶσα. Καθόσον τοίνυν μεταβάλλεταί τι τῆς τάξεως τῶν ὑποκάτω αἰτίων, τῆς ὑπὸ τοῦ Θεοῦ καὶ αὐτῆς καταστάσης, διὰ τὰς τῶν ἁγίων εὐχὰς ἐπιστρέφειν λέγεται ὁ Θεὸς ἢ μεταγινώσκειν, οὐχ ὅτι ἡ ἀΐδιος αὐτοῦ διάθεσις μεταβάλλεται, ἀλλ' ὅτι τῶν ταύτης ἀποτελεσμάτων τι μεταβάλλεται, ἣν φησιν ὁ Γρηγόριος οὐ βουλῆς μεταβολήν, ἀλλ' ἀποφάσεως, μεταφορικῷ ὀνόματι μετάνοιαν λεγομένην.

## XCVII. — Ὅπως ἡ τῆς θείας προνοίας διάθεσις ἔχει λόγον.

Ἐκ δὲ τῶν προειρημένων φανερῶς δύναται καθορᾶσθαι, ὡς ἕπονταί τινι λόγῳ τὰ ὑπὸ τῆς θείας προνοίας διατεθέντα. Καὶ ἐκ μὲν τοῦ τέλους ὁ λόγος λαμβάνεται τῆς τῶν εἰδῶν διαφορᾶς ἐν αὐτοῖς· ἐκ δὲ τῆς τῶν

---

2 *τῷ δὶ ... τὸ δὶ* sic A 9 Ioel, 2, 13-14 15 Num. 23, 19 16 I Reg. 15, 29
18 Malach. 3, 6 22 *αἱ εὐχαί* en marge A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰδῶν διαφορᾶς ὁ τῆς τάξεως λόγος. Ἡ μὲν γὰρ τοῦ παντὸς τελειότης καὶ τὸ δεῖν ὑπὸ διαφόρων τὴν θείαν ἀγαθότητα μετασχεθῆναι, ἣν ἕν τι παριστάνειν οὐ δύναται, τὴν ἀνισότητα τῶν πραγμάτων καὶ τὴν τάξιν ἐποίησε καὶ τοὺς βαθμούς, αὕτη δὲ τὴν τῶν εἰδῶν ποικιλίαν· τὰ δὲ διάφορα εἴδη καὶ διαφόρους ἐνεργείας ἔχειν ἀνάγκη· ἑκάστου δὲ τῇ ἑαυτοῦ ἐνεργείᾳ πρὸς τὸ ἴδιον ἀφικνουμένου τέλος, διαφέρουσι καὶ τὰ ἴδια τέλη ἑκάστων, ἐξ ὧν ὁ λόγος ἑκάστου λαμβάνεται, εἰ καὶ τὸ ἔσχατον τέλος πᾶσίν ἐστι κοινόν. Ἀλλὰ καὶ τὰ συμβεβηκότα τὰ διάφορα, καὶ αἱ ἐνέργειαι, καὶ τὰ πάθη, καὶ αἱ συνθέσεις οὐκ ἄνευ λόγου τοῖς κτίσμασιν ἀπενημήθησαν ὑπὸ τῆς θείας προνοίας. Ἔδει γὰρ ἐκ τῶν διαφόρων οὐσιωδῶν ἀρχῶν διάφορα ἕπεσθαι συμβεβηκότα.

Ἐντεῦθέν ἐστι τὸ τὴν θείαν Γραφὴν τὴν τῶν πραγμάτων παραγωγὴν [f. 107v] καὶ κυβέρνησιν τῇ θείᾳ φρονήσει καὶ σοφίᾳ ἀποδιδόναι, ὡς ἐν ταῖς Παροιμίαις· „Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· ἔστησε δὲ τὸν οὐρανὸν φρονήσει. Τῇ σοφίᾳ αὐτοῦ ἐρράγησαν ἄβυσσοι“· καὶ ἐν τῇ Σοφίᾳ λέγεται περὶ τῆς τοῦ Θεοῦ σοφίας, ὅτι „φθάνει ἀπὸ πέρατος ἕως πέρατος“, καὶ αὖθις ἐν τῇ αὐτῇ· „Πάντα ἐν μέτρῳ καὶ ἀριθμῷ καὶ ζυγῷ“, ἵνα διὰ μὲν τοῦ μετροῦ τὴν ποσότητα ἢ τὸν τρόπον ἢ τὸν βαθμὸν τῆς τελειότητος ἑκάστης νοήσωμεν· διὰ δὲ τοῦ ἀριθμοῦ, τὴν διαφορὰν καὶ τὸ τῶν εἰδῶν πλῆθος, τὸ τοῖς διαφόροις βαθμοῖς τῆς τελειότητος ἑπόμενον· διὰ δὲ τοῦ σταθμοῦ, τὰς διαφόρους ῥοπὰς ἐπὶ τὰ ἴδια τέλη καὶ τὰς ἐνεργείας, καὶ τὰ ἴδια ποιητικὰ καὶ παθητικὰ καὶ συμβεβηκότα, ἃ τῇ τῶν πραγμάτων ἕπεται διακρίσει.

Ἐν δὲ τῇ προειρημένῃ τάξει καθ' ἣν ὁ τῆς προνοίας λόγος καταλαμβάνεται, πρῶτον ἔφαμεν εἶναι τὴν θείαν ἀγαθότητα ὡς τὸ ἔσχατον τέλος, ὃ πρῶτον ἐν τοῖς πρακτικοῖς· μετὰ δὲ τοῦτο, τὴν τῶν ὄντων κατ' ἀριθμὸν πρόοδον, ἣν ὥστε κατασταθῆναι, ἀνάγκη διαφόρους βαθμοὺς ἔν τε τοῖς εἴδεσι καὶ ταῖς ὕλαις καὶ τοῖς ποιοῦσι καὶ πάσχουσι καὶ ταῖς ἐνεργείαις καὶ τοῖς συμβεβηκόσιν εἶναι. Ὥσπερ τοίνυν ὁ πρῶτος τῆς προνοίας λόγος ἡ θεία ἁπλῶς ἐστιν ἀγαθότης, οὕτως ὁ πρῶτος ἐν τοῖς κτίσμασι λόγος ἐστὶν ἡ τούτων κατ' ἀριθμὸν πρόοδος, ἧς πρὸς τὴν συντήρησίν τε καὶ κατάστασιν πάντα τὰ ἄλλα τετάχθαι δοκοῦσιν.

Θεωρητέον δ' ἂν εἴη, ὅτι ὁ θεωρητικὸς καὶ πρακτικὸς λόγος τῷ μὲν ἀπό τινος ἀρχῆς διὰ τῶν μέσων ἐπὶ τὸ σκοπούμενον τέλος καταντᾶν, τὸν μὲν ἐπὶ τὸ συμπέρασμα, τὸν δὲ ἐπὶ τὴν πρᾶξιν ἢ τὴν πρακτικὴν καταντᾶν κοινωνοῦσι· διαφέρουσι δὲ ὅτι ἀρχὴ μὲν ἐν τοῖς θεωρητικοῖς, τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι· ἐν δὲ τοῖς πρακτικοῖς, τὸ τέλος, ὅπερ ποτὲ μέν ἐστιν εἶδος, ποτὲ δὲ ἕτερόν τι. Καὶ τὴν μὲν ἀρχὴν ἐν τοῖς θεωρητικοῖς ἀεὶ

---

14 Prov. 3, 19-20 16 Sap. 8, 1 17 Sap. 11, 21

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναγκαίαν εἶναι ἀνάγκη, ἐν δὲ τοῖς πρακτικοῖς ποτὲ μὲν ἀναγκαίαν, ποτὲ δέ, οὔ. Ἀνάγκη γὰρ τὸν ἄνθρωπον ὡς τέλος ἔσχατον βούλεσθαι τὴν εὐδαιμονίαν, οὐ μέντοι ἀναγκαῖον τὴν οἰκοδόμησιν βούλεσθαι τῆς οἰκίας. f. 108 Καὶ ἄλλοις διαφέρουσιν· οὕτω δὴ τὸ μὲν τὸν Θεὸν τὴν | αὐτοῦ ἀγαθότητα ἀγαπᾶν, ἀναγκαῖον· τὸ δὲ ταύτην παριστάνεσθαι τῇ τῶν κτισμάτων παραγωγῇ, οὐκ ἐξ ἀνάγκης τούτῳ ἕπεται· καὶ τούτου γὰρ ἄνευ, ἡ θεία ἀγαθότης τελεία ἐστίν. Ὅθεν τὸ τὰ κτίσματα παραχθῆναι εἰς τὸ εἶναι, εἰ καὶ ἐκ τοῦ τῆς θείας ἀγαθότητος λόγου τὴν αἰτίαν ἔχει, ὅμως καὶ τῆς ἁπλῆς τοῦ Θεοῦ βουλήσεως ἤρτηται· ὑποτεθέντος δὲ τοῦ τὸν Θεὸν τοῖς κτίσμασι τῆς ἑαυτοῦ ἀγαθότητος κοινωνῆσαι θελῆσαι τῷ δυνατῷ τρόπῳ, ἐκ τούτου τὸ τὰ κτίσματα εἶναι διάφορα τὴν αἰτίαν λαμβάνει, οὐ μέντοι ἕπεται ἐξ ἀνάγκης τὸ κατὰ τοῦτο ἢ ἐκεῖνο τῆς τελειότητος τὸ μέτρον, ἢ κατὰ τοῦτον ἢ ἐκεῖνον τὸν ἀριθμὸν τῶν πραγμάτων· ὑποκειμένου δὲ ἐκ τῆς θείας ἀγαθότητος τοῦ τοῦτον τὸν ἀριθμὸν ἐν τοῖς πράγμασιν ὑποστήσασθαι βουληθῆναι, καὶ τοῦθ' ἑκάστῳ τῆς τελειότητος μέτρον, ἐκ τούτου τὸ τοιοῦτον εἶδος καὶ τοιαύτην ὕλην ἔχειν λόγον λαμβάνει, καὶ ἐπὶ πάντων ὁμοίως. Φανερὸν τοίνυν, ὡς ἡ πρόνοια κατά τινα μὲν λόγον τὰ πράγματα διοικεῖ, οὗτος μέντοι ὁ λόγος ἐξ ὑποθέσεως λαμβάνεται τῆς θείας θελήσεως.

Οὕτω τοίνυν διὰ τῶν προειρημένων τὸ διττὸν τῆς πλάνης ἐκβάλλεται, τῶν τε πιστευόντων τῇ ἁπλῇ βουλήσει τοῦ Θεοῦ πάντα ἕπεσθαι αἰτίας ἄλλης χωρίς, ὡς οἱ Ἀγαρηνοί, καθ' οὓς οὐκ ἔστι διαφορά, εἴτε θερμαίνει εἴτε ψύχει τὸ πῦρ, εἰ μὴ διότι ὁ Θεὸς οὕτω θέλει· καὶ τῶν λεγόντων ἀναγκαίως ἐκ τῆς θείας προνοίας τὴν τάξιν προελθεῖν τῶν αἰτίων· ὧν ἑκάτερον ψεῦδος, ὡς δῆλον ἐκ τῶν εἰρημένων. Εἰ δέ τινα ῥήματα τῆς Γραφῆς τοιοῦτόν τι ἠχεῖ, ὡς τὸ „πάντα [ἃ] ἠθέλησεν, ὁ Κύριος ἐποίησεν", ἐν Ψαλμοῖς· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Τῷ θελήματι αὐτοῦ τίς ἀνθέστηκεν"; ταῦτα, οὐ τὸν λόγον ἐκ τῆς θείας ἀναιρεῖ προνοίας, ἀλλ' ἵν' ἡ τοῦ Θεοῦ βούλησις πάντων ἀρχὴ πρώτη δειχθῇ. Οὕτω τοίνυν, ὅταν ζητῆται περί τινος φυσικοῦ τὸ διατί, δυνάμεθα λόγον ἀποδιδόναι ἔκ τινος αἰτίας προσεχοῦς, καίτοι ὥσπερ εἰς πρώτην αἰτίαν ἀνάγοντες τὴν θείαν θέλησιν· ὥσπερ εἰ ζητοῖτο διὰ τί τὸ ξύλον θερμόν ἐστι, τῇ τοῦ πυρὸς παρουσίᾳ f. 108v δυνατὸν λέγειν, διότι τὸ θερμαίνειν | ἐνέργεια τοῦ πυρός ἐστι φυσική· τοῦτο δέ, ὅτι ἡ θέρμη ἴδιόν ἐστι συμβεβηκὸς τοῦ πυρός, τοῦτο δὲ ἕπεται τῷ ἰδίῳ αὐτοῦ εἴδει, καὶ οὕτως ἕως ἂν ἐπὶ τὴν θείαν ἀγαθότητα καταντήσωμεν. Ὅθεν εἴ τις ἀποκρίνοιτο τῷ ἐρωτῶντι διατί τὸ ξύλον ἐστὶ θερμόν, ὅτι ὁ Θεὸς ἠβουλήθη, οἰκείως ἀποκρίνεται, εἰ σκοποῖ τὸ ζήτημα εἰς τὴν πρώτην αἰτίαν ἀνάγειν, οὐχ ἁρμοδίως |δέ, εἰ βούλοιτο

---

**26** Ps. 134, 6 **27** Rom. 9, 19

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πάσας τὰς ἄλλας αἰτίας ἐκβάλλειν, καὶ τῇ ἁπλῇ τοῦ Θεοῦ βουλήσει ἀποδιδόναι.

## XCVIII. — Ὅπως ὁ Θεὸς δύναται ποιεῖν παρὰ τὴν τῆς ἑαυτοῦ προνοίας τάξιν.

Διπλῆς γὰρ οὔσης τῆς τάξεως τῶν πραγμάτων, μιᾶς μὲν καθόλου καὶ πρώτης, ἥτις τῆς πρώτης πάντων αἰτίας ἤρτηται, ὅθεν καὶ πᾶσι περιφύεται, ἑτέρας δὲ μερικῆς, ἣ κτιστῆς τινος ἑτέρας αἰτίας ἤρτηται καὶ περιέχει τὰ ὑποκείμενα τῇ αἰτίᾳ ἐκείνῃ, αὐτὴ δὲ μετὰ τῶν ἄλλων κατὰ μέρος τάξεων ὑπὸ τὴν καθόλου περιέχονται ἐκείνην, τὸ μὲν ποιεῖν τὸν Θεὸν παρὰ τὴν μερικὴν τάξιν, ἐπειδὰν βουληθῇ, πρόδηλόν ἐστιν, καὶ μᾶλλον μετὰ ταῦτα φανερωθήσεται. Ἐπεὶ δὲ ἡ καθόλου τάξις διχῶς θεωρεῖται, κατά τε τὰ ὑποτεταγμένα τῇ προνοίᾳ πράγματα καὶ κατὰ τὸν λόγον τῆς τάξεως, ὃς τῆς ἀρχῆς τῆς τάξεως ἤρτηται, παρὰ μὲν τὰ τεταγμένα αὐτὰ δυνατόν τινα ποιεῖν τὸν Θεόν· οὐ γάρ ἐστιν ἡ δύναμις αὐτοῦ τούτοις ἢ ἐκείνοις ἐνισχημένη τοῖς πράγμασιν, ἐφόσον οὐκ ἀνάγκῃ φύσεως, ἀλλ' ἁπλῇ βουλήσει πάντα πεποίηκεν· παρὰ δὲ τὸν λόγον τῆς τάξεως οὐδὲν ποιεῖν δύναται· ὁ γὰρ λόγος ἐκ τοῦ τέλους λαμβάνεται, εἰς ὃ φέρεται ἡ γνῶσις καὶ ἡ βούλησις τοῦ Θεοῦ ἐν τῷ ποιεῖν· τὸ δὲ τέλος ἡ ἀγαθότης αὐτοῦ ἐστι τοῦ ποιοῦντος πάντα καὶ τάττοντος. Οὔτε οὖν δυνατόν τι ποιεῖν τὸν Θεόν, ὃ μὴ θελητὸν αὐτῷ ἢ γνωστόν, ἢ μὴ πρὸς τὴν ἀγαθότητα αὐτοῦ τεῖνον, οὔτε δυνατὸν ἐκ νέου τι βούλεσθαι, ἢ ἐκ νέου τι γινώσκειν αὐτόν, ἢ ἁπλῶς, ἢ ἐν τοῖς ποιήμασιν αὐτοῦ, καὶ διὰ τοῦτο οὐδὲν ποιεῖν δύναται ὥστε τῇ τάξει τῆς προνοίας μὴ ὑποπίπτειν, ὥσπερ οὐ δύναταί τι ποιεῖν, ὃ τῇ αὐτοῦ ἐνεργείᾳ μὴ ὑποτάττεται. Δύναται μέντοι ποιεῖν τινα, ἅπερ οὐχ ὑποτάττεται τῇ αὐτοῦ προνοίᾳ, | ἀλλ' οὐ f. 109
δύναται ποιεῖν τινα, ἃ μὴ ἦν ἐξ ἀϊδίου ὑπὸ τὴν τάξιν τῆς αὐτοῦ προνοίας.

Ταύτην δὲ τὴν διάκρισιν οἱ μὴ κατανοήσαντες εἰς αἱρέσεις διαφόρους ἐνέπεσον. Ἔνιοι γὰρ εἶπον ἀνάγκην εἶναι πάντα εἶναι ὡς εἰσί, καὶ μὴ δύνασθαι τὸν Θεὸν ποιεῖν παρ' ἃ ποιεῖ, οὗ τοὐναντίον ἐν τῷ κατὰ Ματθαῖον ὁ Κύριος λέγει· „Ἢ οὐ δοκεῖς, ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν Πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων". Ἔνιοι δέ, τοὐναντίον, τὸ μεταβλητὸν τῶν τῇ προνοίᾳ ὑποταττομένων εἰς τὸ ἀμετάβλητον τῆς θείας προνοίας μετέθηκαν. Ἀλλ' ἐν τοῖς Ἀριθμοῖς καὶ πολλαχοῦ, ὡς προείρηται, ἡ θεία ἀμεταβλησία κηρύττεται. Ἕτεροι τὰ συμβεβηκότα τῆς θείας προνοίας ἐξεῖλον, καθ' ὧν εἴρηται ἐν τοῖς Θρήνοις· „Τίς ἐστιν οὗτος, ὃς εἶπε γενέσθαι τι, μὴ προστάττοντος τοῦ Κυρίου;"

---

31 Matth. 26, 53  37 Thren. 3, 37

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XCIX. — Ὅτι ὁ Θεὸς παράγει ἀποτελέσματα ἄνευ τῶν προσεχῶν αἰτίων παρὰ τὴν ἐντεθεῖσαν ὑπ᾽ αὐτοῦ τοῖς οὖσι τάξιν.

Τῷ μὲν γὰρ ἐκ τῆς ἀνάγκης τῆς φύσεως ποιοῦντι κατὰ μόνον τὸν τῆς ποιητικῆς δυνάμεως τρόπον τὸ ἀποτέλεσμα ἕπεται· ὅθεν τὸ καὶ μεγίστην δύναμιν ἔχον ποιητικὴν οὐ δύναται ἀμέσως παράγειν ἀποτέλεσμά τι μικρόν, ἀλλὰ παράγει τῇ ἑαυτοῦ δυνάμει ἀνάλογον, ἐν ᾧ ἐλάττων μόνον ἐστὶ δύναμις τῆς οὔσης ἐν τῇ αἰτίᾳ, καὶ οὕτω διὰ πολλῶν μέσων πρόεισί τι μικρὸν ἀποτέλεσμα καὶ ἀπὸ τῆς ἄκρας αἰτίας τοιαύτης. Τὸ δὲ θελήσει ποιοῦν, οὐχ οὕτως, ἀλλ᾽ εὐθὺς ἄνευ μέσου δύναται παράγειν ἀποτέλεσμα, ὅπερ οὐχ ὑπερβαίνει τὴν τινὸς τῶν πρὸ αὐτοῦ δύναμιν· ὁ γὰρ τελειότατος τεχνίτης δύναται ποιεῖν ἔργον, οἷον ἂν ποιήσειεν καὶ ὁ ἀτελής· ὁ δὲ Θεὸς βουλήσει ἐνεργεῖ, καὶ οὐκ ἀνάγκῃ, ὡς εἴρηται, ὥστε καὶ τὰ μικρότερα τῶν ἀποτελεσμάτων τὰ διὰ τῶν κατωτέρω αἰτίων γινόμενα δύναται ποιεῖν ἀμέσως, ἄνευ τῶν δευτέρων αἰτίων.

Καὶ εἰ τὸ τῶν στοιχειωδῶν δυνάμεων ἀποτέλεσμα ἐνίοτε ἡ οὐρανία ποιεῖ δύναμις τῆς τοῦ στοιχείου ἐνεργείας χωρίς, καίτοι φύσει τῶν στοιχειωδῶν δυνάμεων ταῖς ποιητικαῖς δυνάμεσιν ὑποτεταγμένων, αἳ τῶν f. 109v οὐρανίων σωμάτων εἰσίν, ὥσπερ ὁ ἥλιος ἄνευ τῆς τοῦ | πυρὸς ἐνεργείας θερμαίνει, πολλῷ μᾶλλον ἡ θεία δύναμις ἄνευ τῆς τῶν δευτέρων ἐνεργείας δύναται τὰ ἴδια ἐκείνων παράγειν ἀποτελέσματα. Καὶ εἰ διὰ κτιστῆς τινος δυνάμεως δυνατὸν τὴν φυσικὴν τάξιν ἀπὸ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον εἰς τὸ ἐπ᾽ ἔλαττον μεταβάλλεσθαι ἄνευ τοῦ τὴν πρόνοιαν μεταβάλλειν, ὡς ὅταν ἕκτον δάκτυλον ἡ φύσις ἐν ἀνθρώπῳ παρὰ τὴν τάξιν γεννᾷ, πολλῷ μᾶλλον ἡ δύναμις τῆς θείας προνοίας δύναταί τι ποιεῖν παρὰ τὴν ἐντεθεῖσαν ἐξ αὐτῆς τοῖς πράγμασι τάξιν ἄνευ τοῦ τὴν πρόνοιαν μεταβάλλειν. Δῆλον γὰρ ὅτι ἡ ἐν τοῖς πράγμασι τάξις καθόσον ἐστὶν ἐν αὐτοῖς, οὐκ ἀεὶ ἀλλ᾽ ὡς ἐπὶ τὸ πλεῖστον ἰσχύει, πολλῶν παρ᾽ αὐτὴν ἐνίοτε γινομένων ἢ ἀσθενείᾳ τῆς ποιητικῆς δυνάμεως, ἢ ἀνεπιτηδειότητι τῆς ὕλης, ἢ δι᾽ ἄλλο τι ποιοῦν ἰσχυρότερον. Ἀλλ᾽ οὐκ ἀσθενεῖ διὰ τοῦτο ἢ μεταβάλλει ἡ τῆς προνοίας τάξις· καὶ γὰρ καὶ τοῦτο αὐτὸ ὑπὸ τὴν θείαν ἐστὶ πρόνοιαν καὶ τὴν αὐτῆς τάξιν· ἡ δὲ θεία δύναμις καὶ φανεροῦται μᾶλλον ἐντεῦθεν. Ἐκ τούτου γὰρ φαίνεται τὸ τὴν ἐν τοῖς πράγμασι τάξιν ἐξ αὐτοῦ τοῦ Θεοῦ, οὐκ ἐκ φυσικῆς ἀνάγκης, ἀλλ᾽ ἐλευθέρας βουλήσεως προελθεῖν· καὶ οὐδὲν θαυμαστὸν εἶναί τινα μεταβολὴν ἐν τῇ σωματικῇ φύσει διὰ τὴν χορηγητέαν τοῖς ἀνθρώποις γνῶσιν περὶ Θεοῦ. Ἡ μὲν γὰρ νοερὰ φύσις ὥσπερ τι τέλος τῶν σωματικῶν ἐστι φύσεων, αὐτῆς δὲ τέλος ἡ θεία γνῶσις ἐδείχθη.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

### C. — Ὅτι ἃ παρὰ τὴν τῆς φύσεως τάξιν δύναται ὁ Θεὸς οὐ παρὰ φύσιν εἰσίν.

Ἐπεὶ γὰρ ὁ Θεὸς μόνος ἐστὶν ἐνέργεια καθαρά, πάντα δὲ τὰ ἄλλα ἔχει τι δυνάμεως μεμιγμένον, ἀνάγκη πρὸς πάντα τὸν Θεὸν παραβάλλεσθαι, ὡς τὸ κινοῦν πρὸς τὸ κινούμενον, καὶ τὸ ἐνεργείᾳ πρὸς τὸ δυνάμει· ὃ δὲ κατὰ τὴν φυσικὴν τάξιν δυνάμει ἐστὶ πρὸς ἕτερόν τι ποιοῦν, εἴ τι ἐγγίνοιτο εἰς αὐτὸ παρὰ τοῦ ποιοῦντος ἐκείνου, οὐκ ἔστι παρὰ φύσιν ἁπλῶς, εἰ καὶ πολλάκις ἐναντίον εἴη τῷ μερικῷ εἴδει, ὃ φθείρεται διὰ τῆς ἐνεργείας ἐκείνου. Ὅταν γὰρ γίνηται πῦρ καὶ φθείρηται ἀήρ, τοῦ πυρὸς ἐνεργοῦντος, φθορὰ καὶ γένεσίς ἐστι φυσική, εἰ καὶ τῇ ἰδίᾳ τάξει τινὸς φύσεως ἐναντίον καὶ παρὰ φύσιν δοκεῖ.

Ἔτι, οὐ παρὰ τὴν τοῦ ὀργάνου φύσιν τὸ ὑπὸ τοῦ πρώτως ποιοῦντος f. 110
κινεῖσθαι, οἰκεῖον μὲν οὖν αὐτοῦ· τὰ δὲ μετὰ τὸν Θεὸν πάντα τὸν πρῶτον ποιοῦντα, ὥσπερ ὄργανά εἰσιν αὐτοῦ, γεγονότα ὥστε δουλεύειν αὐτῷ.

Ἔτι, τὸ πρῶτον μέτρον ἐστὶν ὁ Θεὸς ἁπάντων, ὡς πρῶτον ὂν καὶ τοῖς ἄλλοις τοῦ εἶναι αἴτιον· περὶ δὲ ἑκάστου ἡ κρίσις ἐκ τοῦ μέτρου λαμβάνεται, καὶ φυσικόν ἐστιν ἑκάστῳ, δι' οὗ τῷ οἰκείῳ συμμορφοῦται μέτρῳ. Τὸ ἄρα ἑκάστῳ ἐγκείμενον ὑπὸ Θεοῦ, φυσικὸν ἑκάστῳ, ὥστε καὶ εἴ τι ἄλλο τῷ αὐτῷ ἐγγίνεται ἐκ Θεοῦ, οὐ παρὰ φύσιν ἐστίν.

Ἔτι, ὅλη φύσις ὡς τεχνητόν ἐστι πρὸς τὴν θείαν τέχνην. Οὐκ ἔστι δὲ παρὰ τὸν λόγον τοῦ τεχνητοῦ, εἴ τις ἐν αὐτῷ τεχνίτης ἄλλως τι ἐνεργήσειε μετὰ τὸ δοῦναι τὸ πρῶτον εἶδος· οὐδ' ἄρα παρὰ φύσιν ἐστίν, εἰ ἐν τοῖς φυσικοῖς ὁ Θεὸς ἑτέρως ἐνεργεῖ ἢ ὡς ὁ εἰωθὼς ἔχει τῆς φύσεως δρόμος. Κατὰ γὰρ Αὐγουστῖνον, τοῦτ' ἔστιν ἑκάστῳ φυσικόν, ὃ ποιεῖ ὁ δημιουργός, παρ' οὗ πᾶς ἐστι τρόπος καὶ ἀριθμὸς καὶ τάξις τῆς φύσεως.

### CI. — Περὶ τῶν θαυμάτων.

Τὰ τοιαῦτα δὲ θαύματα λέγομεν, ὡς εἰωθότες θαυμάζειν ὅταν τὴν αἰτίαν ἀγνοῶμεν τοῦ φαινομένου ἀποτελέσματος· διό, τῆς αἰτίας ἐνίων τισὶ μὲν ἐγνωσμένης, ἄλλοις δὲ ἀγνοουμένης, καὶ τῶν ὁρώντων τὸ ἀποτέλεσμα τὸ αὐτὸ οἳ μὲν θαυμάζουσιν, οἳ δὲ οὐ θαυμάζουσιν, ὡς ἐπὶ τῆς ἐκλείψεως τοῦ ἡλίου καὶ τῆς σελήνης· ἁπλῶς δὲ θαῦμα, τὸ ἁπλῶς λανθάνουσαν αἰτίαν ἔχον· καὶ τοῦτο κυρίως θαῦμα, ὡς πλῆρες ἐκπλήξεως, οὐ πρὸς τοῦτον ἢ ἐκεῖνον. Λανθάνουσα δὲ ἁπλῶς αἰτία πᾶσιν ἀνθρώποις ἐστὶν ὁ Θεός· ὅθεν τὰ παρ' αὐτοῦ γινόμενα παρὰ τὴν ἐν τοῖς οὖσι κοινῶς τηρουμένην τάξιν, ἁπλῶς εἰσι καὶ λέγονται θαύματα, ὧν διάφοροι τάξεις καὶ βαθμοί. Πρῶτα μὲν γάρ, ἐν οἷς γίνεταί τι, ὅπερ ἀδύνατον τὴν φύσιν ποιῆσαί ποτε, ὡς τὸ δύο σώματα εἶναι ὁμοῦ, καὶ τὸ τὸν ἥλιον ἀναποδίσαι ἢ στῆναι, καὶ τὸ τὴν θάλασσαν τοῖς διαπερῶσι διαφόρους ὁδοὺς παρασχεῖν· ἐν οἷς αὖθις τὰ μᾶλλον ἐξῃρημένα τῆς φυσικῆς δυνά-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μεως, θαυμαστότερα, οἷον τὸ ἀναπόδισαι τὸν ἥλιον, μεῖζον θαῦμα τοῦ διαιρεθῆναι τὴν θάλασσαν. Δεύτερα δέ, ἐν οἷς ποιεῖ τι ὁ Θεός, ὃ δύναται f. 110 v | καὶ ἡ φύσις, εἰ καὶ μὴ δι' ἐκείνης τῆς τάξεως. Ἔργον γὰρ φύσεως, τὸ ζῷόν τι ζῆν καὶ ὁρᾶν καὶ κινεῖσθαι· τὸ δὲ μετὰ θάνατον ζῆσαι, καὶ μετὰ τύφλωσιν ἰδεῖν, καὶ μετὰ τὴν χωλότητα περιπατῆσαι, τοῦθ' ἡ φύσις οὐ δύναται ποιεῖν. Ὁ δὲ Θεὸς πολλάκις θαυματουργῶν ἐνεργεῖ, καὶ ἐν τούτοις δὲ τάξις κατανοεῖταί τις, καθόσον τι αὐτῶν μᾶλλον τῆς φυσικῆς ἐξήρηται δυνάμεως. Τρίτα εἰσίν, ὅταν ὁ Θεὸς ποιῇ τι εἰωθὸς καὶ τῇ ἐνεργείᾳ τῆς φύσεως γίνεσθαι, μηδὲν μέντοι τῶν τῆς φύσεως ἀρχῶν ποιουσῶν, ὡς ὅταν τις ἀπαλλάττηται πυρετοῦ, ἢ ὅταν ὑγῇ τῆς τῶν φυσικῶν ἀρχῶν ἐνεργείας ἄνευ, μεθ' ὧν ἠδύνατο καὶ ἡ φύσις εὐτάκτως ταῦτα ποιεῖν.

## CII. — Ὅτι μόνου τοῦ Θεοῦ ἐστι ποιεῖν θαύματα.

Τὸ μὲν γὰρ ὑπό τινα τάξιν παντελῶς τεταγμένον οὐ δύναται ἐνεργεῖν παρὰ τὴν τάξιν ἐκείνην· πᾶν δὲ κτίσμα ὑπὸ τὴν τάξιν ἐστὶ καθεστώς, ἣν τοῖς οὖσιν ἀφώρισεν ὁ Θεός· οὐδὲν ἄρα κτίσμα ὑπὲρ τὴν τάξιν ταύτην δύναται ἐνεργεῖν, ὅπερ ἐστὶ θαύματα ποιεῖν, εἰ καὶ ὑπό τινων κτισμάτων παράδοξα τοῖς μὴ συνορῶσι τὴν αὐτῶν δύναμιν γίνεται, ὡς ἡ ἕλξις τοῦ σιδήρου ὑπὸ τοῦ μαγνήτου, καὶ ἡ ἐποχὴ τῆς νηὸς ὑπὸ τοῦ ἐλαχίστου ἰχθύος. Ἀλλ' ὁ Θεὸς τῆς πάντα περιεχούσης τάξεως ὑψηλότερος, ὡς ἂν τῇ τούτου προνοίᾳ ὅλης τῆς τάξεως ταύτης προχεομένης, καὶ τῆς αὐτοῦ δυνάμεως διὰ τὸ ἄπειρον εἶναι οὐχ ὁριζομένης πρός τι εἰδικὸν ἀποτέλεσμα, οὔθ' ὡρισμένῳ τρόπῳ ἢ τάξει τὸ ἴδιον προάγοντος ἀποτέλεσμα. Ἐντεῦθέν ἐστι τὸ ἐν Ψαλμοῖς περὶ αὐτοῦ· „Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ".

## CIII. — Ὅτι ἅπερ αἱ ἀσώματοι οὐσίαι ἐνεργοῦσιν οὐκ εἰσὶ κυρίως θαύματα.

Οὔτε γὰρ ἰδίᾳ δυνάμει ποιοῦσιν, οὔτε πᾶσαι τῇ θείᾳ δυνάμει ποιοῦσιν, ἀλλὰ μία τάξις ἡ τῶν ἀγγέλων κατὰ τὸν Γρηγόριον, ὅς φησι καὶ τινὰς τῶν ἁγίων θαύματα πολλάκις ποιεῖν ἐκ θείας δυνάμεως, ἀλλ' οὐκ ἀπὸ μεσιτείας μόνον. Ὅταν δὲ ἄγγελοι ἢ δαίμονες φυσικοῖς τισι χρῶνται πρός τινα ὡρισμένα ἀποτελέσματα, ὥσπερ τισὶν ὀργάνοις αὐτοῖς χρῶνται, ὡς ὁ ἰατρὸς ταῖς βοτάναις· ἀπὸ δὲ τοῦ ὀργάνου οὐ μόνον τὸ τῇ οἰκείᾳ δυνάμει σύστοιχον πρόεισιν ἀποτέλεσμα, ἀλλά τι καὶ περαιτέρω σχεδὸν f. 111 αὐτῆς, καθόσον | τῇ τοῦ πρώτως ποιοῦντος ἐνεργεῖ δυνάμει. Τὸ γὰρ σκέπαρνον καὶ ὁ πρίων οὐ δύνανται κλίνην ποιῆσαι, εἰ μὴ καθόσον ὡς ὑπὸ τῆς τέχνης κινούμενα ἐνεργοῦσιν εἰς τὸ τοιόνδε ἀποτέλεσμα· ἀλλ' οὐδ' ἡ φυσικὴ θέρμη σάρκα γεννᾶν ἠδύνατο ἄν, μὴ τῇ δυνάμει τῆς φύσεως ὡς

---

24 Ps. 135, 4

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὀργάνῳ τῇ θέρμῃ χρωμένης. Προσῆκον τοίνυν ἐστὶν ἐξ αὐτῶν τῶν φυσικῶν ὀργάνων προϊέναι τινὰ καὶ μείζω ἀποτελέσματα τῶν χρωμένων αὐτοῖς οὐσιῶν ἀσωμάτων, ἃ δὴ θαύματα μὲν οὐκ εἰσὶ κυρίως, ὡς ἐκ φυσικῶν αἰτιῶν προϊόντα, παράδοξα δέ, καὶ τοῦτο διχῶς, ὅτι τε αἱ τοιαῦται αἰτίαι ἀήθως προσάγονται τοῖς ἀποτελέσμασι διὰ τῶν ἀσωμάτων οὐσιῶν· ὅθεν καὶ τὰ τῶν εὐφυῶν τεχνιτῶν ἔργα παράδοξά εἰσιν, ὅταν ὑπὸ τῶν ἄλλων μὴ καταλαμβάνηται τὸ ἐνεργοῦν, καὶ ὅτι τὰ φυσικὰ αἴτια, ἀποτελέσμασί τισι προσαγόμενα, μεταλαμβάνουσί τινος δυνάμεως, καθόσον τῶν ἀσωμάτων ὄργανα γίνονται, ὃ καὶ μᾶλλον προσεγγίζει τῷ λόγῳ τοῦ θαύματος.

## CIV. — Ὅτι τὰ μαγικὰ οὐκ ἐκ τῆς δράσεως τῶν οὐρανίων σωμάτων μόνων εἰσίν.

Ἀδύνατον γὰρ τὰ ἴδια τῆς νοερᾶς φύσεως ἀποτελέσματα ἐκ τῆς τοῦ οὐρανίου σώματος δυνάμεως τὴν αἰτίαν ἔχειν· ἐν δὲ ταῖς ἐνεργείαις τῶν μάγων φαίνονταί τινα ἴδια ἔργα τῆς λογικῆς κτίσεως· ἀποδίδονται γὰρ ἀποκρίσεις περὶ ἀποκαλύψεως θησαυρῶν ἀποκρύφων καὶ μελλόντων προρρήσεως, καὶ περὶ ἐπιστήμης τινῶν δογμάτων ἐνίοτε, καὶ ἀποκρίσεις ἐνίοτε ἀληθεῖς· τοῦτο δὲ νοῦ χωρὶς οὐκ ἂν ἠδύνατο γίνεσθαι. Οὐκ ἄρα ἐκ μόνης τῆς τῶν οὐρανίων σωμάτων κινήσεως ἢ δυνάμεως τὴν αἰτίαν ἔχουσι τὰ τοιαῦτα. Πῶς γὰρ καὶ δύναιτο ἄγαλμά τι ἄψυχον κινεῖσθαι καὶ φωνὴν προΐεσθαι τῇ δυνάμει τῶν οὐρανίων σωμάτων; Οὔτε γὰρ ἀρχὴν ἔχουσι ζωῆς ἐν ἑαυτοῖς, οὔτε εἰώθασιν ὅλως κινεῖσθαι τῇ δυνάμει τῶν οὐρανίων, εἰ μὴ τῇ μαγικῇ τέχνῃ. Οὐ μέντοι παντάπασιν ἀπαναίνεσθαι χρὴ τὸ μὴ ἐν τοῖς προειρημένοις ἐκ τῆς δυνάμεως τῶν οὐρανίων σωμάτων εἶναί τι δυνάμεως δύνασθαι, πρὸς ἐκεῖνα μέντοι τὰ ἀποτελέσματα μόνα, ἃ τῇ τῶν οὐρανίων σωμάτων δυνάμει δύνανται προάγειν ὑποκάτω τινὰ σώματα.

## CV. — Πόθεν αἱ τῶν μάγων τέχναι τὸ δραστικὸν ἔχουσιν. f. 111r

Δῆλον, ὡς ἐπεὶ φωναῖς σημαντικαῖς τισιν οἱ μάγοι χρῶνται ἔκ τινος νοῦ τὴν δύναμιν ἔχουσιν· ἡ γὰρ σημαντικὴ φωνὴ ἐκ μόνου τοῦ νοῦ τὴν δύναμιν ἔχει, ἢ τοῦ προφέροντος, ἢ τοῦ πρὸς ὃν προφέρεται. Ἀλλ' αἱ παρὰ τῶν μάγων φωναὶ οὐ δύνανται τὸ δραστήριον ἐκ τοῦ νοῦ τοῦ λέγοντος ἔχειν· οὐ γὰρ δυνατόν τινα ἄνθρωπον τῇ ἰδίᾳ σημαντικῇ φωνῇ τὰ πράγματα μεταβάλλειν ἰδίᾳ δυνάμει· ἢ γὰρ καὶ πᾶσιν ἀνθρώποις ἔδει τοῦτο προσεῖναι, ὃ ψεῦδός ἐστι φανερῶς, ἢ τὸν τοῦτο ἔχοντα ποιεῖν ὁμωνύμως ἄνθρωπον εἶναι, καὶ οὐ τοῦ αὐτοῦ εἴδους τοῖς ἄλλοις. Ἔχουσιν ἄρα τὸ δραστήριον ἔκ τινος νοῦ, πρὸς ὃν ἀποτείνονται· οὗ σημεῖον, ὅτι αἱ τοιαῦται τῶν μάγων φωναὶ ἐπικλήσεις εἰσί, καὶ δεήσεις, καὶ ἐξορκισμοί, καὶ προστάγματα, ὥσπερ πρὸς ἕτερον διαλεγομένου· καὶ οἱ χαρακτῆρες δὲ καὶ τὰ σχήματα οἷς χρῶνται οὐδεμιᾶς ἐνεργείας ἢ πάθους αἴτια

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δύνανται εἶναι καθ' ἑαυτά· οὐδὲ δύνανται τὴν ὕλην διατιθέναι πρός τι φυσικὸν ἀποτέλεσμα, ἀλλ' ὡς σημείοις μόνον αὐτοῖς κέχρηνται, πρὸς τοὺς συνιόντας ἄρα. Καὶ οὕτω φανερόν, ὡς αἱ τοιαῦται τέχναι τοῖς σχήμασιν, ἃ καὶ χαρακτῆρας καλοῦσιν, ὡς σημείοις προβεβλημένοις νοερᾷ τινι φύσει χρῶνται, ὥσπερ καὶ θυσίαις τισὶ καὶ προκαλινδήσεσιν ἀποδιδομέναις αὐτῇ· καὶ οὕτως αἱ μαγικαὶ τέχναι οὐκ ἀπό τινος φύσει ποιοῦντος τὸ δραστήριον ἔχουσιν, ἀλλ' ἔκ τινος οὐσίας διὰ νοῦ ποιούσης.

## CVI. — Ὅτι ἡ τοῖς μαγικοῖς τὸ δραστήριον χορηγοῦσα νοερὰ οὐσία οὐκ ἀγαθῆς θελήσεως ἐστίν.

Τὸ γάρ τισιν ἐναντίως τῇ ἀρετῇ βοήθειαν χορηγεῖν οὐκ ἔστι νοῦ διακειμένου καλῶς. Ἀλλ' ἐν ταῖς τοιαύταις τέχναις καὶ μοιχεῖαι καὶ κλοπαὶ γίνονται, καὶ φόνοι, καὶ τοιαῦτα ἐκ προνοίας κακουργήματα· ὅθεν καὶ οἱ ταῖς τέχναις χρώμενοι ταύταις κακοποιοὶ λέγονται.

Ἔτι, ἡ τοιαύτη φύσις ἀνοσίοις ἀνθρώποις συνεργεῖ· τοιοῦτοι γὰρ οἱ τὰ μαγικὰ μετιόντες.

Ἔτι, οὐ συνεργεῖ πρός τι σπουδαῖον καὶ μέγαν ἀποτέλεσμα, οἷον ἐπιστήμην καὶ ἀρετήν, καὶ ἃ τῇ τελειότητι τῆς ἀνθρωπίνης ζωῆς ἀνήκουσιν, ἀλλὰ πρὸς εὑρέσεις κλοπιμαίων καὶ λῃστῶν κατοχαῖς, καὶ τοιούτοις.

Ἔτι, παιγνιώδεσί τισι καὶ ἀλόγοις συνεργεῖ· ἄλογον γὰρ τὸ τὸν
f. 112 μάγον ἀνοσίᾳ κοίτῃ συνεργοῦντα διὰ τῆς τέχνης, καὶ ταύτην τινὰ | συγκαταπραττόμενον ζητεῖν ἀφροδισίων ἄπειρον ἄνθρωπον.

Ἔτι, συνεργεῖ πράξεσιν ἐναγέσιν, ἤγουν ἀκάκων παιδίων φόνοις, καὶ τοῖς τοιούτοις, δι' ὧν οἱ μάγοι βοήθειαν τισὶ συνεισφέρουσι χρωμένοις αὐτῶν τῇ τέχνῃ.

Ἔτι, ἐπικαλοῦνται μὲν οἱ μάγοι τὴν τοιαύτην φύσιν μετὰ δεήσεως· ἐλθούσῃ δὲ προστάττουσιν ὡς ταπεινοτέρᾳ. Ταῦτα δὴ πάντα οὐκ ἂν εἴη φύσεως εὖ διακειμένης κατὰ τὸν νοῦν καὶ πρὸς ἀρετὴν διατεθειμένης. Διὰ τούτων ἡ τῶν Ἑλλήνων ἀποσκορακίζεται αἵρεσις, οἳ τοῖς αὐτῶν θεοῖς τὰς τοιαύτας ἐνεργείας ἀπένεμον.

## CVII. — Ὅτι κατὰ τὴν αὐτῆς φύσιν οὐκ ἔστι κακὴ ἡ τοιαύτη οὐσία.

Πάντα γὰρ πρὸς τὸ ἀγαθὸν τείνει καθ' ἑαυτά, καὶ οὐδὲν εἰς τὸ κακὸν εἰ μὴ κατὰ συμβεβηκός, ὡς προείρηται. Πάντα γὰρ ἀπὸ τοῦ πρώτου ὄντος τὸ εἶναι ἔχει, ὅπερ τὸ ἔσχατόν ἐστιν ἀγαθόν, ὡς πρότερον εἴρηται, καὶ πᾶν τὸ ποιοῦν, καθόσον τοιοῦτον, ὅμοιον ἑαυτῷ ποιεῖ· καὶ διὰ τοῦτο ἀνάγκη τὰ ὄντα ἀπὸ τοῦ πρώτου ὄντος ἅπαντα ἀγαθὰ εἶναι τῇ φύσει. Οὕτως οὖν καὶ ἡ βοήθειαν παρεχομένη τῇ μαγικῇ τέχνῃ οὐσία κατὰ τὴν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἑαυτῆς φύσιν ἀγαθή ἐστιν, ἀλλὰ διαστροφῇ θελήσεως πονηρά ἐστι καὶ γέγονεν ἀφ' ἑαυτῆς, καὶ προαιρέσει, οὐ φύσει διέστραπται.

## CVIII.

Ἀλλά τισι τοῦτο ἀδύνατον εἶναι δοκεῖ, τὸ εἶναί τινα ἁμαρτίαν ἐν τῇ τῶν δαιμόνων γνώσει· νοῖ γάρ εἰσιν οἱ δαίμονες, καὶ γινώσκουσι τῷ νοεῖν· ὃ δέ τις νοεῖ, περὶ ἐκεῖνο οὐκ ἀπατᾶται· ἐκ γὰρ τῆς τοῦ νοεῖν ἀσθενείας πρόεισιν ἡ ἀπάτη. Οὐδεμία ἄρα πλάνη δύναται εἶναι ἐν τῇ γνώσει αὐτῶν. Οὐδὲν δὲ θελήσεως ἁμάρτημα δύναται εἶναι ἄνευ ἀπάτης· ἡ γὰρ θέλησις ἀεὶ εἰς τὸ καταληφθὲν ἀγαθὸν τείνει. Ὅθεν, ἂν ἐν τῇ καταλήψει τοῦ ἀγαθοῦ μὴ γένηται πλάνη, ἀδύνατον ἁμαρτίαν εἶναι ἐν τῇ βουλήσει.

Ἔτι, ἐν ἡμῖν ἡ τῆς θελήσεως ἁμαρτία συμβαίνει περὶ ἐκεῖνα ὧν ἐν τῷ καθόλου ἀληθινὴν ἔχομεν ἐπιστήμην, διὰ τὸ ἐν τῷ μερικῷ κωλύεσθαι τὸ τοῦ λόγου κριτήριον ἔκ τινος πάθους τὸν λογισμὸν ἐμποδίζοντος. Τὰ δὲ τοιαῦτα πάθη ἐν τοῖς δαίμοσιν οὐ δύνανται εἶναι· ταῦτα γὰρ τοῦ αἰσθητικοῦ μέρους, ὃ οὐκ ἐνεργεῖ ἄνευ ὀργάνου σωματικοῦ. | Οὐκ ἄρα f. 112v δι' ἀσθένειαν γνώσεως ἐν τῷ μερικῷ τείνει αὐτῶν ἡ θέλησις εἰς τὸ κακὸν ἐχόντων ἐν τῷ καθόλου ὀρθὴν ἐπιστήμην.

## CIX. — Ὅτι ἐν τοῖς δαίμοσι δύναται εἶναι ἁμάρτημα, καὶ πῶς.

Ἀλλὰ τοὐναντίον τῇ Γραφῇ δείκνυται· ἐν γὰρ τῷ Ἰὼβ λέγεται· „Ὁ διάβολος ἐξ ἀρχῆς ἁμαρτάνει“· καὶ ἐν τῷ κατὰ Ἰωάννην, ὅτι „ψεύστης ἐστὶ καὶ τοῦ ψεύδους πατήρ“, καὶ ὅτι „ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς“· καὶ ἐν τῇ Σοφίᾳ λέγεται, ὅτι „φθόνῳ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν“.

Ἰστέον οὖν, ὅτι ἐν ἐκείνῳ μόνῳ τῷ θέλοντι οὐδὲν ἁμάρτημα βουλήσεως συμβαίνειν δύναται, οὗτινος ἴδιον ἀγαθόν ἐστι τὸ ἔσχατον τέλος, ὅπερ ὑπὸ τάξιν ἑτέρου τέλους οὐ περιέχεται, ἀλλ' ὑπὸ τὴν ἐκείνου τάξιν τὰ ἄλλα περιέχονται τέλη πάντα· τοιοῦτον δὲ μόνος ἐστὶν ὁ Θεός· καὶ διὰ τοῦτο ἐν αὐτῷ ἁμάρτημα βουλήσεως εἶναι οὐ δύναται. Ἐν παντὶ δὲ ἑτέρῳ θέλοντι, οὗ τὸ ἴδιον ἀγαθὸν ἀνάγκη ὑπὸ τάξιν ἑτέρου ἀγαθοῦ περιέχεσθαι, δύναται συμβαίνειν ἁμάρτημα θελήσεως, εἰ ἐν τῇ ἑαυτοῦ θεωροῖτο φύσει· τῇ γὰρ ἑαυτοῦ κρίσει τὴν ἰδίαν τελειότητα τάττει εἰς τὸ ὑψηλότερον τέλος διὰ τὸ μὴ εἶναι ἴδιον τῆς αὐτοῦ φύσεως τὸ ἀνώτερον τέλος, ἀλλὰ τῆς ἀνωτέρω, καὶ ἡ φυσικὴ ῥοπὴ τῆς βουλήσεως πρὸς τὸ βούλεσθαι τὸ ἀγαθὸν οὐκ ἐμποδίζει τῇ ἐλευθερίᾳ τῆς κρίσεως· καὶ τούτῳ

---

23 I Ioh. 3, 8, non dans Job  24 Ioh. 8, 44  26 Sap. 2, 24



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διαφέρει τὰ βούλησιν ἔχοντα τῶν ἐστερημένων αὐτῆς, ὅτι τὰ μὲν τάττουσιν ἑαυτὰ πρὸς τὸ τέλος, τὰ δὲ τάττονται ὑπὸ τοῦ ἀνωτέρως ποιοῦντος, ὥσπερ ὑπ' ἐκείνου πρὸς τὸ τέλος ἀγόμενα, οὐχ ὑφ' ἑαυτῶν. Καὶ οὕτως ἐν τῇ θελήσει τῆς χωριστῆς οὐσίας συμβαίνειν ἁμάρτημα δύναται, καθὸ τὸ ἴδιον ἀγαθὸν καὶ τὴν τελειότητα οὐκ εἰς τὸ ἔσχατον τάττει τέλος, ἀλλὰ ὡς τέλει τῷ ἰδίῳ ἀγαθῷ προσεφύη. Καὶ ἐπεὶ ἐκ τοῦ τέλους ἀνάγκη τοὺς τῆς ἐνεργείας κανόνας λαμβάνεσθαι, ἑπόμενόν ἐστιν ἐξ ἑαυτοῦ ἐν ᾧ τὸ ἔσχατον συνεστήσατο τέλος καὶ τὰ ἄλλα κανονίζεσθαι θέλειν καὶ τὴν ἑαυτοῦ βούλησιν ὑφ' ἑτέρου τινὸς ἀνωτέρου μὴ τάττεσθαι, ὃ μόνῳ ὀφείλεται τῷ Θεῷ, καὶ τοῦτ' ἔστι τὸ τῆς θείας ἰσότητος ἐπιθυμῆσαι, οὐχ ἵνα τὸ ἴδιον ἀγαθὸν τῷ θείῳ ἀγαθῷ ἴσον ᾖ· τοῦτο γὰρ οὐκ ἦν δυνατὸν πίπτειν ὑπὸ
f. 113 τὸν νοῦν, ἐπεὶ τῷ τούτου ἐπιθυμεῖν ἐπιθύμησεν ἂν ἑαυτὸν μὴ εἶναι· | τὸ δὲ θέλειν ἄλλους μὲν κανονίζειν, τὴν δ' ἐκείνου βούλησιν ὑπὸ τοῦ ἀνωτέρου μὴ κανονίζεσθαι, βουλομένου ἐστὶν ὑπερέχειν, καί τινα τρόπον μὴ ὑποτάττεσθαι, ὅπερ ὑπερηφανίας ἁμάρτημα. Ἐπεὶ δὲ ἐκ μιᾶς τῆς περὶ τὸ πρῶτον πλάνης πολλαπλῆ ἕπεται καὶ ποικίλη ἐκ τῆς πρώτης περὶ τὴν βούλησιν ἀταξίας, τῷ δαίμονι πολλαπλῶς ἡ θέλησις ἐπλανήθη καὶ διεφθάρη· μῖσος γὰρ πρὸς τὸν Θεὸν ἠκολούθησεν καὶ ἀνθιστάμενον αὐτοῦ τῇ ὑπερηφανίᾳ καὶ δικαίως αὐτὴν κολάζοντα, καὶ πρὸς τὸν ἄνθρωπον φθόνος, καὶ πολλὰ τοιαῦτα. Ἐπεὶ δὲ αἱ χωρισταὶ οὐσίαι οὐχ ὑπὸ τὸν Θεὸν τάττονται μόνον, ἀλλὰ καὶ μία τούτων ὑπ' ἄλλην ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐσχάτων, ἑκάστῳ δὲ τῶν ὑπὸ τὸν Θεὸν ὄντων καὶ βουλομένων δύναταί τι βουλήσεως ἁμάρτημα εἶναι εἰ ἐν τῇ ἑαυτοῦ θεωροῖτο φύσει, δυνατὸν γέγονε τῶν ἀνωτέρων τινά, ἢ καὶ ἐν πᾶσιν ἄκρων, ἁμαρτεῖν κατὰ βούλησιν. Οὐ γὰρ ἂν ἐν τῷ ἰδίῳ ἠρέμησεν ἀγαθῷ ὥσπερ ἐν τέλει, εἰ μὴ τὸ ἴδιον ἀγαθὸν τελειότερον ἦν· δυνατὸν δὲ ἦν καὶ τῶν ἄλλων τινὰς εἰς ἐκείνην ἑκουσίως τάξαι τὸ ἑαυτῶν ἀγαθόν, τὴν θείαν τάξιν καταλιπούσας, ὥσπερ εἴ τις ὑπηρετοίη τῇ τοῦ στρατηγοῦ τάξει, καταλιπὼν τὴν τοῦ βασιλέως, διὰ τὸ τὸν στρατηγὸν ἀποστατῆσαι τῆς τοῦ βασιλέως τάξεως· αἵ καὶ αὗται ὁμοίως ἥμαρτον· ἄλλας δὲ τηρησάσας τὴν θείαν τάξιν ἐν τῇ θελήσει τοῦ ἁμαρτόντος καταφρονῆσαι, καὶ ὑψηλοτέρου ὄντος τῇ τάξει τῆς φύσεως· πῶς δὲ ἡ βούλησις ἑκατέρων ἀκινήτως διαμένει πρὸς τὸ ἀγαθὸν ἢ τὸ κακόν, ἐν τῷ τετάρτῳ δειχθήσεται.

Ἐν δὲ τῷ ἀνθρώπῳ τὸ ἁμάρτημα συμβαίνει διχῶς· ἢ τῆς βουλήσεως αὐτοῦ τὸ ἴδιον ἀγαθὸν μὴ ταττούσης πρὸς τὸν Θεόν, ὃ δὴ κοινόν ἐστι καὶ τῇ χωριστῇ οὐσίᾳ· ἢ τοῦ τῆς ταπεινοτέρας ὀρέξεως ἀγαθοῦ οὐ κατὰ τὴν ὑψηλοτέραν κανονιζομένου, ὡς ὅταν τὰ τῆς σαρκὸς ἡδέα, εἰς ἃ τὸ ἐπιθυμητικὸν τείνει, μὴ κατὰ τὴν τοῦ λογικοῦ τάξιν αἱρώμεθα. Τὸ ἁμάρτημα τοῦτο οὐ συμβαίνει ταῖς χωρισταῖς οὐσίαις.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006